22/02/2026

Το Ευαγγελικό Ανάγνωσμα της Κυριακής της Τυρινής

/ Ορθόδοξες Προβολές

Το Ευαγγελικό Ανάγνωσμα της Κυριακής της Τυρινής: Ματθ. ς΄ 14-21 (22-2-2026)

Εἶπεν ὁ Κύριος· Ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος· ἐὰν δὲ μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὁ Πατὴρ ὑμῶν ἀφήσει τὰ παραπτώματα ὑμῶν. Ὅταν δὲ νηστεύητε, μὴ γίνεσθε ὥσπερ οἱ ὑποκριταί, σκυθρωποί· ἀφανίζουσι γὰρ τὰ πρόσωπα αὐτῶν, ὅπως φανῶσι τοῖς ἀνθρώποις νηστεύοντες. Ἀμὴν λέγω ὑμῖν, ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν. Σὺ δὲ νηστεύων, ἄλειψαί σου τὴν κεφαλήν, καὶ τὸ πρόσωπόν σου νίψαι ὅπως μὴ φανῇς τοῖς ἀνθρώποις νηστεύων, ἀλλὰ τῷ Πατρί σου

τῷ ἐν τῷ κρυπτῷ· καὶ ὁ Πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ. Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς, ὅπου σὴς καὶ βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται διορύσσουσι καὶ κλέπτουσι· θησαυρίζετε δὲ ὑμῖν θησαυροὺς ἐν οὐρανῷ, ὅπου οὔτε σής, οὔτε βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται οὐ διορύσσουσιν, οὐδὲ κλέπτουσιν. Ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ ἔσται καὶ ἡ καρδία ὑμῶν.

Απόδοση σε νεοελληνική το Ευαγγελικό Ανάγνωσμα της Κυριακής της Τυρινής

Εἶπεν ὁ Κύριος: Ἂν συγχωρήσετε στούς ἀνθρώπους τά παραπτώματά τους, θά συγχωρήσει καί τά δικά σας ὁ οὐράνιος Πατέρας σας· ἄν ὅμως δέν συγχωρήσετε στούς ἀνθρώπους τά παραπτώματά τους, οὔτε ὁ Πατέρας σας θά συγχωρήσει τά δικά σας παραπτώματα. Ὅταν νηστεύετε, μή γίνεστε σκυθρωποί ὅπως οἱ ὑποκριτές, οἱ ὁποῖοι δέν πλένουν τά πρόσωπά τους, ὥστε νά φανοῦν στούς ἀνθρώπους ὅτι νηστεύουν· σᾶς διαβεβαιώνω ὅτι δέν θά λάβουν ἀμοιβή. Ἐσύ ὅμως, ὅταν νηστεύεις, ἄλειψε τό κεφάλι σου καί πλύνε τό πρόσωπό σου, γιά νά μή φαίνεσαι στούς ἀνθρώπους ὅτι νηστεύεις, ἀλλά στόν Πατέρα σου, ὁ ὁποῖος εἶναι ἐκεῖ στά κρυφά, καί ὁ Πατέρας σου ὁ ὁποῖος βλέπει τί γίνεται στά κρυφά, θά σέ ἀνταμείψει στά φανερά. Μή συγκεντρώνετε θησαυρούς ἐπί τῆς γῆς, ὅπου τούς ἀφανίζουν ὁ σκόρος καί ὁ σκώληξ, καί ὅπου οἱ κλέφτες κάνουν διαρρήξεις καί τούς κλέβουν· νά συγκεντρώνετε θησαυρούς στόν οὐρανό, ὅπου οὔτε ὁ σκόρος οὔτε ὁ σκώληξ τούς ἀφανίζουν, καί ὅπου κλέφτες δέν κάνουν διαρρήξεις καί δέν κλέβουν· γιατί, ὅπου εἶναι ὁ θησαυρός σας, ἐκεῖ εἶναι καί ἡ καρδιά σας.

(Η Καινή Διαθήκη, το πρωτότυπο κείμενο με νεοελληνική απόδοση του ομοτ. καθηγ. Χρ. Βούλγαρη, εκδ. ΑΠΟΣΤΟΛΙΚΗΣ ΔΙΑΚΟΝΙΑΣ)